8 Απριλίου 2022

# Ευαγγέλιο Ε΄ Κυριακής των Νηστειών – Αρχιμανδρίτης Θεόφιλος Μπουγιουλέκας †

Πολιτισμός / Βυζαντινή Μουσική / Θεία Λατρεία

Αρχιμανδρίτης Θεόφιλος Μπουγιουλέκας †



**Απαγγέλλει ο μακαριστός Αρχιμανδρίτης Θεόφιλος Μπουγιουλέκας (Ι.Ν.Αγίου Ευσταθίου Περισσού, 10 Απριλίου 2011**

%video%

Κατά Μάρκον, κεφ. ι' στίχοι 32-45

«Τω καιρώ εκείνω παραλαβών ο Ιησούς πάλιν τους δώδεκα μαθητάς αυτού, ήρξατο αυτοίς λέγειν τα μέλλοντα αυτώ συμβαίνειν, ότι ιδού αναβαίνομεν εις Ιεροσόλυμα και ο υιός του ανθρώπου παραδοθήσεται τοις αρχιερεύσι και τοις γραμματεύσι, και κατακρινούσιν αυτόν θανάτω και παραδώσουσιν αυτόν τοις έθνεσι, και έμπαίξουσιν αυτώ και μαστιγώσουσιν αυτόν και εμπτύσουσιν αυτώ και αποκτενούσιν αυτόν, Και τη τρίτη ήμερα αναστήσεται. Και προσπορεύονται αυτώ Ιάκωβος και Ιωάννης οι υιοί Ζεβεδαίου λέγοντες• διδάσκαλε, θέλομεν ίνα ο εάν αιτήσωμεν ποίησης ημίν. ο δε είπεν αυτοίς• τί θέλετε ποιήσαί με υμίν; οι δε είπον αυτώ• δός ημίν ίνα είς εκ δεξιών και εις εξ ευωνύμων σου καθίσωμεν εν τη δόξη

σου. ο δε Ιησούς είπεν αυτοίς• ουκ οίδατε τι αιτείσθε. Δύνασθε πιείν το ποτήριον ο εγώ πίνω, και το βάπτισμα ό εγώ βαπτίζομαι βαπτισθήναι; οι δε είπον αυτώ• δυνάμεθα. ο δε Ιησούς είπεν αυτοίς• το μεν ποτήριον ό εγώ πίνω πίεσθε, και το βάπτισμα ό εγώ βαπτίζομαι βαπτισθήσεσθε το δε καθίσαι εκ δεξιών μου και εξ ευωνύμων ουκ εστίν εμόν δούναι, αλλ’ οίς ητοίμασται. Και ακούσαντες οι δέκα ήρξαντο αγανακτείν περί Ιακώβου και Ιωάννου. ο δε Ιησούς προσκαλεσάμενος αυτούς λέγει αυτοίς- οίδατε ότι οι δοκούντες άρχειν των εθνών κατακυριεύουσιν αυτών και οι μεγάλοι αυτών κατεξουσιάζουσιν αυτών• ούχ ούτω δε έσται εν υμίν, αλλ’ ός εάν θέλη γενέσθαι μέγας εν υμίν, έσται υμών διάκονος, και ός εάν θέλη υμών γενέσθαι πρώτος, έσται πάντων δούλος• και γαρ ο υιός του ανθρώπου ουκ ήλθε διακονηθήναι, αλλά διακονήσαι και δούναι την ψυχήν αυτού λύτρον αντί πολλών».

**https://bit.ly/38ESXKl**